## *Περὶ ἐπιτολῶν καὶ κρύψεων καὶ προσθέσεων καὶ ἀφαιρέσεων καὶ περιπολούντων*

«Ποιοῦνται φάσεις πρὸς τὸν Ἥλιον οἱ περιπολοῦντες ἀστέρες»

*Πρόκειται αὐτῷ νῦν περὶ τῶν ἐπιτολῶν καὶ κρύψεων καὶ στηριγμῶν καὶ προσθέσεων καὶ ἀφαιρέσεων διαλαβεῖν· περιπολοῦντας δὲ καλεῖ τοὺς τρεῖς ἀστέρας, φημὶ δὴ Ἄρη, Κρόνον, Δία ὡς πέριξ πολοῦντας· οἱ γὰρ λοιποὶ δύο Ἑρμῆς καὶ Ἀφροδίτη οὐκ ἀφίστανται αὐτοῦ ἐπὶ πολύ. διὸ οὔτε σχηματίζουσιν αὐτὸν καὶ διὰ τοῦτο περὶ τῶν περιπολούντων αὐτῷ μάλιστα διαλέγεται·*

«Ἐπὶ πρῶτον καὶ δεύτερον στηριγμὸν φερομένης»

*Μεμάθηκας, τίς ἐστι ὁ στηριγμὸς ἐν τῇ θεωρίᾳ, καὶ ποῖος μὲν πρῶτος, ποῖος δὲ δεύτερος, καὶ ὅτι ἐναντίως οἱ δύο ἀστέρες, Ἀφροδίτη καὶ Ἑρμῆς, ποιοῦνται τὰς προσθαφαιρέσεις τῶν ἄλλων τριῶν ἀστέρων. ἀλλὰ μὴν καὶ τί ἐστι ἀκρόνυκτος μεμάθηκας, καὶ ἐπὶ μὲν ἑῴας ἀνατολῆς τετευχότες οἱ ἀστέρες ἐνεργεῖς εἰσιν. ἐνταῦθα τὴν χρείαν παραδίδωσι, ἤγουν τὸν καρπὸν τὸν γινόμενον ἐκ τῆς τοιαύτης ζητήσεως.*

«Ἕως ἂν εἰς τὸ δεξιὸν αὐτοῦ τρίγωνον τὴν κίνησιν ποιούμενοι»

*Δεξιὸν τρίγωνον ἐκάλεσεν, ὅπερ ποιεῖ ὁ ἀστὴρ ἀπὸ τοῦ Ἡλίου διαστὰς ἑῷος ἀνατολικὸς τυγχάνων, ἔνθα ποιεῖ τὸν πρῶτον στηριγμόν, ἀριστερὸν τὸ ἐναντίον, ἔνθα τὸν δεύτερον στηριγμὸν ποιεῖται, ὅταν καὶ ἑσπέριος εὑρίσκεται ὁ ἀστὴρ φερόμενος πρὸς τὸν Ἥλιον.*